UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

VI. De Macedonio & de haeresi ab eo conflata.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

παρέδοσαν. καὶ τοῦτο ἡμᾶς ὁ θεῖος ἐδίδαξεν ἀθανάσιος, ἐν τῇ περὶ τῆς οἰκείας φυγῆς ἀπολογίᾳ καὶ ταῦτα προστεθεικώς. τὸν γὰρ τῆς κωνσταντινουπόλεως παῦλον τὸν ἐπίσκοπον διώξαντες καὶ εὑρόντες, περιφανῶς ἀποπνιγῆναι πεποιήκασιν ἐν τῇ λεγομένῃ κουκουσῷ τῆς καππαδοκίας, δήμιον ἐσχηκότες εἰς τοῦτο φίλιππον τὸν γενόμενον ἔπαρχον. ἦν γὰρ καὶ τῆς αἱρέσεως αὐτῶν προστάτης, καὶ τῶν πονηρῶν βουλευμάτων ὑπηρέτης. τοιαύτας μιαιφονίας ἡ ἀρείου βεβλάστηκεν βλασφημία. τῇ γὰρ κατὰ τοῦ μονογενοῦς λύττῃ, συμβαίνει τὰ κατὰ τῶν ἐκείνου θεραπόντων τολμήματα.

A sustulerunt. Atque id nos docuit divinus Athanasius, qui in defensione quam scripsit de fuga sua, ista quoque inseruit. Nam cùm Paulum Constantinopoleos Episcopum persecuti essent, repertum apud Cucusum in Cappadocia palam strangulari fecerunt, carnificem ad hoc facinus nacti Philippum Præfectum prætorio. Hic enim & sectæ ipsorum patronus, & minister erat improborum consiliorum. Tales tamque cruentas cædes edidit Ariana blasphemia. Nam cùm ipsorum adversus Unigenitum rabie ac furore, B apte conveniunt facinora adversus famulos illius perpetrata.

## Κεφ. ς'.

Περὶ μακεδονίου καὶ τῆς ἐπ' αὐτοῦ συστάσης αἱρέσεως.

Ἀλλὰ τοῦτον οὕτω τῷ θανάτῳ, μᾶλλον δὲ τῇ τῶν οὐρανῶν παραπέμψαντες βασιλείᾳ, μακεδόνιον ἀντὶ τούτου προυβάλλοντο, ὁμογνώμονα τοῦτον ὑπειληφότες, ἐπειδὴ παραπλησίως αὐτοῖς ἐβλασφήμει τὸ πανάγιον πνεῦμα. ἀλλὰ μικρὸν ὕστερον καὶ τοῦτον ἐξήλασαν, κτίσμα λέγειν οὐκ ἀνασχόμενον, ὃν υἱὸν προσαγορεύει ἡ θεία γραφή. οὗ δὴ χάριν ὑπ' ἐκείνων ἀποκριθεὶς, ἰδίας αἱρέσεως προστάτης γεγένηται. ὁμοούσιον μὲν οὐδὲ οὗτος τῷ πατρὶ τὸν υἱὸν εἶναι λέγων, ὅμοιον δὲ εἶναι κατὰ πάντα τῷ γεγεννηκότι διδάσκων. κτιστὸν δὲ τὸ πνεῦμα προφανῶς ὀνομάζων. ταῦτα μὲν οὖν οὐ πολλῷ χρόνῳ ὕστερον οὕτω γέγονεν ὡς εἰρήκαμεν.

## Cap. VI.

*De Macedonio, & de hæresi ab eo conflata.*

HUnc in modum Ariani cùm Paulum morte affecissent, vel potius ad cœleste regnum transmisissent, Macedonium in ejus locum substituerunt, suæ illum sectæ atque sententiæ esse arbitrati, eo quod de Spiritu sancto perinde ac ipsi impie loqueretur. Sed non multo post eum quoq; ejecerunt, C cùm creaturam dicere abnueret eum quem sacra Scriptura Filium appellat. Quam ob causam ab illis sejunctus, propriæ sectæ auctor ac patronus extitit: quippe qui consubstantialem quidem Patri Filium esse ipse quoque negaret: similem vero per omnia genitori suo diceret: Spiritum autem sanctum disertis verbis creaturam appellaret. Et hæc quidē haud multo post ad hunc modum quem diximus, contigerunt.

## Κεφ. ζ'.

Περὶ τῆς ἐν σαρδικῇ γενομένης συνόδου.

Εἰς δὲ τὴν σαρδικὴν πεντήκοντα μὲν καὶ διακόσιοι συνῆλθον ἀρχιερεῖς, ὡς διδάσκει τὰ παλαιὰ διηγήματα. ἀφίκετο δὲ καὶ ὁ μέγας ἀθανάσιος, καὶ ἀσκληπᾶς ὁ γαζαῖος, οὗ καὶ πρόσθεν ἐμνήσθην, καὶ μάρκελλος ἀγκύρας τῆς γαλατῶν μητροπόλεως, ὃς καὶ ἐπὶ τῆς συνόδου τῆς μεγάλης ἐπίσκοπος ἦν. ἀφίκοντο δὲ καὶ οἱ τούτων κατήγοροι. καὶ οἱ τῆς αἱρετικῆς προστατεύοντες φάλαγγος, οἱ πάλαι τῶν περὶ ἀθανάσιον γενόμενοι δικασταί. ἀλλὰ τῆς συνόδου μεμαθηκότες τὸ ἀκλινὲς καὶ τὴν ἐν τοῖς θείοις πράγμασιν ὑγείαν, οὐδὲ κληθέντες εἰσῆλθον εἰς τὸ συνέδριον. ἀλλ' ἀπέδρασαν σὺν τοῖς ἀδίκοις

## Cap. VII.

*De Synodo Serdicensi.*

D SERDICAM vero ducenti & quinquaginta convenerunt Episcopi, sicut antiqua monumenta testantur. Eodem accessit magnus Athanasius, & Asclepas Gazæus, cujus supra mentionem feci; & Marcellus Episcopus Ancyræ quæ caput est Galatiæ; qui magnæ synodi Nicænæ temporibus jam tum erat Episcopus. Advenerunt etjam horum accusatores, & Arianæ factionis principes, qui in Athanasii causa jampridem judices fuerant. Verum cùm synodi constantiam & incorruptam divinorum dogmatum sanitatem comperissent, ne vocati quidem ad Concilium venerunt: sed una cùm



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN